*Πενθέα δ' ἱδρύσας ἐλατίνων ὄζων ἔπι,*
*ὀρθὸν μεθίει διὰ χερῶν βλάστημ' ἄνω*
*ἀτρέμα, φυλάσσων μὴ ἀναχαιτίσειέ νιν.*
*ὀρθὴ δ' ἐς ὀρθὸν αἰθέρ' ἐστηρίζετο,*
*ἔχουσα νώτοις δεσπότην ἐφήμενον·*
*ὤφθη δὲ μᾶλλον ἢ κατεῖδε μαινάδας.*
*ὅσον γὰρ οὔπω δῆλος ἦν θάσσων ἄνω,*
*καὶ τὸν ξένον μὲν οὐκέτ' εἰσορᾶν παρῆν,*
*ἐκ δ' αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι*
*Διόνυσος, ἀνεβόησεν· Ὦ νεάνιδες,*
*ἄγω τὸν ὑμᾶς κἀμὲ τἀμά τ' ὄργια*
*γέλων τιθέμενον· ἀλλὰ τιμωρεῖσθέ νιν.*
*καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πρὸς οὐρανὸν*
*καὶ γαῖαν ἐστήριζε φῶς σεμνὸν πυρός.*
  *σίγησε δ' αἰθήρ, σῖγα δ' ὕλιμος νάπη*
*φύλλ' εἶχε, θηρῶν δ' οὐκ ἂν ἤκουσας βρόμον.*
*αἱ δ' ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι*
*ἔστησαν ὀρθαὶ καὶ διήνεγκαν κάρα.*
*ὁ δ' αὖθις ἐπεκέλευσεν· ὡς δ' ἐγνώρισαν*
*σαφῆ κελευσμὸν Βακχίου Κάδμου κόραι*
*ἦξαν πελείας ὠκύτητ' οὐχ ἥσσονες.*
*[ποδῶν ἔχουσαι συντόνοις δρομήμασι,*
*μήτηρ Ἀγαύη σύγγονοί θ' ὁμόσποροι.]*
*πᾶσαι δὲ βάκχαι διά τε χειμάρρου νάπης*
*ἀγμῶν τ' ἐπήδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.*
*ὡς δ' εἶδον ἐλάτῃ δεσπότην ἐφήμενον*
*πρῶτον μὲν αὐτοῦ χερμάδας κραταιβόλους*
*ἔρριπτον, ἀντίπυργον ἐπιβᾶσαι πέτραν,*
*ὄζοισί τ' ἐλατίνοισιν ἠκοντίζετο.*